δώροις δεξιοῦσθαι τοῖς ἀρίστοις.

### Κεφάλαιον β.

Κόσμος μὲν οὖν, ἐστὶ σύστημα ἐξ οὐρανοῦ καὶ γῆς καὶ τῶν ἐν τούτοις περιεχομένων φύσεων. λέγεται δὲ καὶ ἑτέρως κόσμος, ἡ τῶν ὅλων τάξις τε καὶ διακόσμησις, ὑπὸ θεοῦ τε καὶ διὰ θεὸν φυλαττομένη. ταύτης δὲ τὸ μὲν μέσον, ἀκίνητόν τε ὂν καὶ ἑδραῖον, ἡ φερέσβιος εἴληχε γῆ, παντοδαπῶν ζῴων ἑστία τε οὖσα, καὶ μήτηρ. τὸ δὲ ὕπερθεν αὐτῆς, πᾶν τε καὶ πάντῃ πεπερατωμένον· οὗ τὸ ἀνώτατον θεοῦ οἰκητήριον, οὐρανὸς ὠνόμασται· πλήρης δὲ ὢν σωμάτων θείων, ἃ δὴ καλεῖν ἄστρα εἰώθαμεν, κινούμενος κίνησιν ἀΐδιον, μιᾷ περιαγωγῇ, καὶ κύκλῳ συναναχορεύει πᾶσι τούτοις ἀπαύστως δι' αἰῶνος. τοῦ δὲ σύμπαντος οὐρανοῦ τε καὶ κόσμου σφαιροειδοῦς ὄντος καὶ κινουμένου, καθάπερ εἶπον, ἐνδελεχῶς, δύο ἀκίνητα ἐξ ἀνάγκης ἐστὶ σημεῖα, καταντικρὺ ἀλλήλων, καθάπερ τῆς ἐν τόρνῳ κυκλοφορουμένης σφαίρας, στερεὰ μένοντα, καὶ συνέχοντα τὴν σφαῖραν· περὶ ἃ ὁ πᾶς κόσμος κινεῖται. ὁ μὲν οὖν κόσμος, ἐν κύκλῳ περὶ στρέφεται. καλοῦνται δ' οὗτοι πόλοι· δι' ὧν εἰ νοήσαιμεν ἐπιζευγνυμένην εὐθεῖαν, ἥν τινες ἄξονα καλοῦσι, διάμετρος ἔσται τοῦ κόσμου, μέσην μὲν ἔχουσα τὴν γῆν, τοὺς δὲ δύο πόλους, πέρατα. τῶν δὲ ἀκινήτων πόλων τούτων, ὁ μὲν ἀεὶ φανερός ἐστιν ὑπὲρ κορυφὴν ὤν, κατὰ τὸ βόρειον κλίμα, ἀρκτικὸς καλούμενος· ὁ δὲ, ὑπὸ γῆν ἀεὶ κατακέκρυπται, κατὰ τὸ νότιον, ἀνταρκτικὸς καλούμενος. οὐρανοῦ δὲ, καὶ ἄστρων, οὐσίαν μὲν, αἰθέρα καλοῦμεν, οὐχ ὥς τινες, διὰ τὸ πυρώδη οὖσαν, αἴθεσθαι, πλημμελοῦντες περὶ τὴν πλεῖστον πυρὸς ἀπηλλαγμένην δύναμιν· ἀλλὰ διὰ τὸ ἀεὶ θεῖν κυκλοφορουμένην, στοιχεῖον οὖσαν ἕτερον τῶν τεσσάρων, ἀκήρατόν τε καὶ θεῖον, τῶν γε μὴν ἐμπεριεχομένων ἄστρων, τὰ μὲν ἀπλανῆ, τῷ σύμπαντι οὐρανῷ συμπεριστρέφονται, τὰς αὐτὰς ἔχοντα ἕδρας· ὧν μέσος ὁ ζωοφόρος καλούμενος κύκλος, ἐγκάρσιος διὰ τῶν τροπικῶν διέζωσται, κατὰ μέρος διῃρημένος εἰς δώδεκα ζωδίων χώρας.

A munificè prædito esse contigit.

### CAPVT II.

MVndus est compages è cœlo terráque coagmentata, atque ex iis naturis quę intra ea continentur. Dicitur etiam aliter mundus, ordo & digestio vniuersorum, quæ à Deo & per Deum asseruatur. Huius situm medium immotum, & stabilem terra
B vitæ fœcunditate prædita sortita est: animantium quidem illa omnifariam distinctarum sedes & parens. Huius vniuersitatis suprema pars omnis, omnem in partem finita est & terminata: cuius id quod in celsissimo loco situm est, Cælum dicitur, dei domicilium. Hoc cùm diuinis corporibus plenum sit, quæ Sidera nos appellare solemus, motúque sempiterno agatur vno circumactu, orbísque ductu eodem: perenni vtique in æuum tenore rapta
C secum illa circumagit corpora, ad numerum in morémque præsultoris. Vniuersi autem mundi cælíque globosa (vt dictum est) forma compacti, iugíque vertigine exagitati, duo esse puncta necesse est inter se è regione obuersa, itidem atque si globus in torno circumagatur: stabilia quidem illa, globúmque continentia: circa quæ mundus vniuersus vertitur. Hos Vertices appellant, aut Cardines. Per quos si lineam rectam ab vno ad alterum
D porrectam intellexeris, quam nonnulli Axem vocitant: erit hæc vtique mundo linea dimetiens: ita vt terram in medio, ambos autem cardines habeat pro terminis. Qui quum ipsi fixi sint, & immoti: alter eorum semper sublimis apparet super verticem, ad tractum cæli Aquilonarem, ab vrsa appellatus Arcticus. At infra terram alter semper conditus circa tractum Australem, Antarcticus dictus est, vt
E cõtrarius Arctico. Cæli porrò siderúmque substantiam appellamus ætherem, non quidem ideò quòd ignita flagret ipsa, vt aliqui censuerunt, plurimùm vtique aberrantes circa potentiam illam maximè ab ignea natura abhorrentem: origine verò huius vocabuli inde ducta, quòd semper æther currat motu circunductili: cùm sit illud elementum à quatuor illis diuersum: tum diuinum, tum interitus expers. Eorum verò siderum, quæ intus cohiben-
F tur, ea quæ errationis nescia sunt, cum cælo circunferuntur, easdem vtique sedes positúsque eosdem tenentia. Quorum medius circulus (cui signifero nomen est) duos per orbes transuersus cælũ cingit: qui à cõuersionib. ipsi Solis, Tropici, quasi cõuersionales appellati sunt: in duodecim ille quidẽ regiones totidẽ signorũ diuisus